


Ἀρχιερῆος θειόφρονος καὶ θαυματοεργοῦ
Πέτρου τοῦ ὁσίου εἰκόνα, χριστιανοί,
σεπτὴν εὐλαβίης μετὰ πάσης προσκυνέοντες,
ἕξετέ μιν πρέσβυν πρὸς Θεὸν οὐράνιον.

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΠΕΤΡΟΥ,

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΡΓΟΥΣ ΚΑΙ ΝΑΥΠΛΙΟΥ,

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ,

ΕΟΡΤΑΖΟΜΕΝΟΥ ΤΗ: Γ' ΜΑΪΟΥ,

ΔΙΑΣΚΕΥΑΣΘΕΙΣΑ

ΥΠΟ

ΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΡΓΟΛΙΔΟΣ

## ΔΑΝΙΗΛ·

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



ΕΝ ΑΘΗΝΑΙΣ,

ΤΥΠΟΙΣ « Ο ΚΑΔΜΟΣ » Γ. ΜΕΛΙΣΤΑΓΟΥΣ.
(Ὁδ. Λέκα, ἀριθ. 43, κάτωθι τῆς οἰκίας Ι. Ῥοδίου λοχαγοῦ.)

1870.

'Αριθ. Πρωτ. 1,319, 1,428.
Διεκπ. 280.

# ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ.

## Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

*Πρὸς τὸν σεβασμιώτατον Ἀρχιεπίσκοπον Ἀργολίδος.*

Ἀπαντᾶται εἰς τὴν ἀπὸ 27 τοῦ λήγοντος ἀναφορὰν Ὑμῶν, ὅτι ἡ Σύνοδος παραθεῖσα τὴν χειρόγραφον ἱερὰν Ἀκολουθίαν τοῦ ἁγίου Πέτρου Ἀρχιεπισκόπου Ἄργους καὶ Ναυπλίου, παρ' Ὑμῶν διασκευασθεῖσαν, πρὸς τὴν τέως ἐν χρήσει ἔντυπον, καὶ εὑροῦσα, μετ' ἀκριβῆ ἐπιθεώρησιν ἀμφοτέρων τῶν εἰς αὐτὴν ὑποβληθεισῶν Ἀκολουθιῶν, τὴν Ὑμετέραν κανονικωτέραν καὶ καταλληλοτέραν, περιβάλλει αὐτὴν τῇ ἑαυτῆς ἐγκρίσει καὶ ἐπιστρέφει ἐγκλείστως ὧδε διὰ τὴν ἐνέργειαν τῶν περαιτέρω.

Ἐν Ἀθήναις, τῇ 31 Μαρτίου 1870.

† Ὁ Ἀθηνῶν ΘΕΟΦΙΛΟΣ, Πρόεδρος.
† Ὁ Ζακύνθου ΝΙΚΟΛΑΟΣ.
† Ὁ Τριφυλίας καὶ Ὀλυμπίας ΒΑΡΘΟΛΟΜΑΙΟΣ.
† Ὁ Καλαβρύτων καὶ Αἰγιαλείας ΕΥΘΥΜΙΟΣ.

(Τ. Σ.) Ὁ Β' Γραμματεὺς
ΙΓΝΑΤΙΟΣ Β. ΗΠΕΙΡΩΤΗΣ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΙΔΡΥΤΗΣ ΠΑΠΑ...

# Τοῖς ἀναγινώσκουσιν.

Ἐγκατασταθεὶς τῇ κληρωθείσῃ μοι Ἐπισκοπῇ ἐν μηνὶ σεπτεμβρίῳ τοῦ ἔτους 1867 καὶ μελετήσας τὴν ἐν φυλλαδίῳ σωζομένην Ἀκολουθίαν τοῦ κατὰ τὴν Ἀργολίδα ἰδίως ἑορταζομένου ἁγίου Πέτρου, ἀρχιεπισκόπου Ἄργους καὶ Ναυπλίου, εὗρον αὐτὴν οὐ μόνον ἐλλειπῆ κατὰ τὰ περὶ τοῦ βίου τοῦ Ἁγίου, ἀλλὰ καὶ κατὰ τὴν μελῳδίαν καὶ τὴν σύνταξιν πλημμελῶς ἐν πολλοῖς ἔχουσαν.

Τούτου ἕνεκα καθῆκόν μου ἐνόμισα συμπληρῶσαι τὸ πόνημα καὶ πρὸς τὸ ὀρθὸν τοῦ ρυθμοῦ διασκευάσαι τὴν Ἀκολουθίαν, ἵνα ψάλληται αὕτη ἐν ταῖς ἐκκλησίαις ἐπαξίως τῆς μεγάλης τῶν πιστῶν πρὸς τὸν Ἅγιον εὐλαβείας. Καὶ δή, τῇ θείᾳ συνάρσει καὶ τῇ τοῦ Ἁγίου ἀντιλήψει πεποιθώς, ἐπεχείρησα τῷ ἔργῳ, ὃ καὶ τῷδε τῷ τρόπῳ ἐξετέλεσα.

Καὶ πρῶτον μὲν Μικρὸν Ἑσπερινὸν προσέθηκα, ἐλλείποντα ἐν τῷ φυλλαδίῳ τῆς Ἀκολουθίας ἐκείνης· εἶτα δὲ καὶ τὰ ἐν Μεγάλῳ Ἑσπερινῷ καὶ τῷ Ὄρθρῳ συνεπλήρωσα, καὶ τὸ μέλος ἐπὶ τὸ πανηγυρικώτερον μετέβαλον, ἁρμόζον πρὸς τὰ κατὰ τὴν ἡμέραν τῆς μνήμης τοῦ Ἁγίου ψαλλόμενα ἀναστάσιμα τοῦ Πάσχα. Τὸν δὲ βίον ἔγραψα πληρέστερον, ὁδηγοῖς χρησάμενος τῷ τε Συναξαριστῇ καὶ τῷ Νέῳ Ἐκλογίῳ καὶ ἄλλαις πηγαῖς, ἐξ ὧν καὶ τὴν ἐποχήν, ἐν ᾗ ὁ Ἅγιος

ἤκμασεν, ὥρισα, καὶ τὰ κατὰ τὸν βίον συγκεχυμένα ἀκριβέστερον ἐσημείωσα, καί, καθόλου εἰπεῖν, μονονουχὶ νέαν ἐπεξειργασάμην τὴν Ἀκολουθίαν.

Ὅθεν περάνας τὸ ἔργον, ὑπέβαλον αὐτὸ τῇ Ἱερᾷ ἡμῶν Συνόδῳ, ἣ καὶ ἀντεξετάσασα ἀμφότερα, περιέβαλε τῇ ἑαυτῆς ἐγκρίσει τὸ χειρόγραφον, ὡς κανονικώτερον καὶ καταλληλότερον τοῦ ἐντύπου, καθὼς γίνεται δῆλον ἐκ τοῦ πρός με ἐγγράφου αὐτῆς, τοῦ προταχθέντος ἐνταῦθα.

Παραδίδωμι οὖν τὴν ἱερὰν ταύτην Ἀκολουθίαν τοῖς εὐσεβέσι χριστιανοῖς, ἵνα, μετ᾽ εὐλαβείας μελετῶντες καὶ ψάλλοντες αὐτήν, ἀξιῶνται, ταῖς τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πέτρου πρεσβείαις, τῆς τοῦ παναγάθου Θεοῦ εὐλογίας καὶ χάριτος.

Τῇ 25 Ἀπριλίου 1870, ἐν Ἀθήναις.

† Ὁ Ἀργολίδος ΔΑΝΙΗΛ.

---

# ΜΑΪΟΥ Γ´,

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΠΕΤΡΟΥ,

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΡΓΟΥΣ ΚΑΙ ΝΑΥΠΛΙΟΥ,

τοῦ θαυματουργοῦ.

---

## ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι.

Ἱστῶμεν Στίχους δ´, καὶ ψάλλομεν στιχηρὰ προσόμοια δευτεροῦντες τὸ α´.

Ἦχος δ´.

Ἔδωκας σημείωσιν.

Νόμῳ τοῦ Δεσπότου σου, ἐμμελετῶν πρακτικώτατα, ἱεράρχα πανόλβιε, τὸν νοῦν ἀνεπτέρωσας, πρὸς τὰς οὐρανίους, καὶ ὑπερκοσμίους, ἱεραρχίας καὶ σαυτόν, δοχεῖον θεῖον ἀπεργασάμενος, καὶ στέφανον ἀμάραντον, παρὰ Χριστοῦ κομισάμενος, εἰς τὰ ἄνω βασίλεια κατοικεῖς, Πέτρε ὅσιε.

Πάθη τὰ τοῦ σώματος, προθανατώσας μακάριε, κρατερῶς κατεπάλαισας, ἀσκήσει νηστείᾳ τε, καὶ τῇ ἐγκρατείᾳ, καὶ ὤφθης θεῖος ἀθλητής, καταπροπώσας τὸν παναλάστορα· διό σε μακαρίζομεν,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

καὶ ἐν ᾠδαῖς εὐφημοῦμέν σε, ἱεράρχα θεσπέσιε, πρεσβευτὰ τῶν τιμώντων σε.

Ἔφθασας ἀοίδιμε, τῶν ἐφετῶν τὸ ἀκρότατον, καὶ ἐγένου μετάρσιος, τῇ πτήσει τοῦ πνεύματος, καὶ τῶν ἐπιγείων, πάντων καὶ ἡδέων, καταπεφρόνηκας ἀεὶ, τοῖς οὐρανίοις ἐνοπτριζόμενος· διό σε καὶ ἐδόξασεν, ὁ ἐπουράνιος Κύριος, ἐν σημείοις καὶ τέρασι, λειτουργὲ ἱερώτατε.

Δόξα, ἦχος πλ. β'.

Σήμερον πιστοὶ χορεύσωμεν, καὶ πνευματικῶς εὐωχηθῶμεν, ἐπὶ τῇ πανηγύρει τοῦ σεπτοῦ διδασκάλου, Πέτρου τοῦ τρισμάκαρος, ϗ χαρμονικῶς ἀναβοήσωμεν αὐτῷ· Πάτερ ἁγιώτατε, ἱεραρχῶν ἐγκαλλώπισμα, ὁσίων ὁμόσκηνε καὶ δικαίων, μὴ διαλίπῃς τὴν ποίμνην σου φρουρῶν καὶ σκέπων, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Καὶ νῦν, Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἀποστίχου στιχηρά.
Ἦχος πλ. β'.
Τριήμερος ἀνέστης Χριστέ.

Τὴν μνήμην σου τελοῦντες πιστῶς, ὑμνοῦμεν καὶ δοξάζομεν, τὸν Σωτῆρα καὶ φιλάνθρωπον



Θεὸν, ὦ Πέτρε θεοφόρε, τὸ σέμνωμα τοῦ Ἄργους, καὶ Ἐκκλησίας ἡ εὐπρέπεια.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Παντοίων πειρασμῶν καὶ δεινῶν, τὴν ποίμνην σου διάσωζε, ἱκετεύων τὸν τῶν πάντων ποιητὴν, καὶ πάντας περιφρούρει, τοὺς ἐπικαλουμένους, σὴν προστασίαν καὶ ἀντίληψιν.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Σὲ ἔρεισμα ϗ τεῖχος στεῤῥὸν, παμμάκαρ πιστοὶ ἔγνωμεν, ἀπροσμάχητον ϗ ἄγρυπνον φρουρὸν, καὶ εὔδιον λιμένα, ἐν θλίψεσι τοῦ βίου· διό σε πόθῳ μακαρίζομεν.

Δόξα, Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Ἱκέτευε ἀπαύστως Ἁγνὴ, τὸν σὸν Υἱὸν ϗ Κύριον, καταπέμψαι τῶν δεινῶν ἀπαλλαγὴν, καὶ ἄφεσιν πταισμάτων, τοῖς πίστει αἰτουμένοις, τὴν μεσιτείαν σου, Πανάμωμε.

Ἀπολυτίκιον.

Τὸν φρουρὸν καὶ προστάτην.

Καὶ ἀπόλυσις μικρά.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι.

Μετὰ τὸν Προοιμιακὸν στιχολογοῦμεν τὴν α΄ στάσιν τοῦ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ Ἁγίου τρία καὶ τῆς ἑορτῆς τρία.

Προσόμοια τοῦ Ἁγίου.

Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Τὸν ἀστέρα τὸν ἄδυτον, τὸν τὴν κτίσιν φωτίζοντα, καὶ καταλαμπρύνοντα κόσμον ἅπαντα, τὸν τῆς ἁγνείας διδάσκαλον, ἀσκήσεως γνώμονα, καὶ κανόνα ἀκριβῆ, ἐγκρατείας ὑπόδειγμα, Πέτρον ἅπαντες, εὐφημήσωμεν ᾄσμασιν ἐνθέοις, τῶν Ἀργείων τὸν προστάτην ϗ Ἀργολίδος ποιμάντορα.

Βασιλεῖς τε καὶ ἄρχοντες, ἱερεῖς καὶ διδάσκαλοι, ϗ πιστῶν συστήματα πάντα σήμερον, ἐπὶ τῇ μνήμῃ σου Ἅγιε, φαιδρῶς ἀγαλλόμενα καὶ χορὸν πνευματικὸν, συγκροτοῦντα δοξάζουσι, τὸν δωρούμενον, διὰ σοῦ τοῖς ἀνθρώποις σωτηρίαν, καὶ ῥυόμενον κινδύνων, πειρατηρίων ϗ θλίψεων.

Βυζαντίου τὸ βλάστημα, ϗ Κορίνθου τὸν τρόφιμον, Ἄργους ϗ Ναυπλίου τε ἀρχιποίμενα, ἱεραρχῶν τὸν ἀκρέμονα, δογμάτων ὑπέρμαχον, καὶ



τῆς πίστεως φρουρὸν, δεομένων θερμότατον ἀντιλήπτορα, τῶν πεινώντων τὸν ἕτοιμον τροφέα, αἰχμαλώτων τε τὸν ῥύστην, ἀξιαγάστως τιμήσωμεν.

Δόξα, ἦχος πλ. α΄.

Δεῦτε τῶν φιλεόρτων τὰ πλήθη, συνελθόντα σήμερον, φαιδρῶς πανηγυρίσωμεν τὴν μνήμην τοῦ σοφοῦ ἱεράρχου, ϗ σκιρτήσωμεν ἀγαλλόμενοι. Δεῦτε μακαρίσωμεν τὸν ὑπέρλαμπρον φωστῆρα τῆς Ἐκκλησίας, τὸν περιφανῆ διδάσκαλον τῆς Ἀργολίδος, καὶ τῆς Ἑλλάδος τὸ καύχημα· τοῖς Ἀποστόλοις τὸν ὁμότροπον, τοῖς διδασκάλοις τὸν ὁμόζηλον, ϗ τοῖς ὁσίοις τὸν ὁμόσκηνον, τῶν δεομένων τὸ θερμὸν ἱλαστήριον, τῶν αἰχμαλώτων τὸν ῥύστην, Πέτρον τὸν πανένδοξον, τὸν πᾶσι ϗ πανταχοῦ ἑτοίμως προφθάνοντα, καὶ πρεσβεύοντα ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, τῆς ἑορτῆς.

Εἴσοδος. Τὸ Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

### Παροιμιῶν τὸ ἀνάγνωσμα.

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς, ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα

δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ· οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν· οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου· ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας. Στόμα σοφῶν μελετᾷ σοφίαν· δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν· καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διὰ παντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας



καρδίας· δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτὴν πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτὴν ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει· δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν. Ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων· σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων· καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με τί εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσει με ἐν γνώσει, καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Ἐγκωμιαζομένου δικαίου, εὐφρανθήσονται λαοί· ἀθανασία γάρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις, καὶ ἀρεστὴ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν, ὦ ἄνδρες, σοφίαν, καὶ ποθήσατε, καὶ παιδευθήσεσθε. Ἀρχὴ γὰρ αὐτῆς, ἀγάπη καὶ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, καὶ οὐ κρύψω ἀφ᾽ ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής· καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις καὶ ἐργασιῶν ἐπιστήμη. Ἡ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία· ἔστι γὰρ ἐν αὐτῇ πνεῦμα νοερόν, ἅγιον· ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλους Θεοῦ καὶ προφήτας κατασκευάζει. Εὐπρεπεστέρα δέ ἐστιν ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν· φωτὶ συγκρινομένη, εὑρίσκεται προτέρα. Αὕτη τοὺς θεραπεύσαντας αὐτὴν ἐκ πόνων ἐῤῥύσατο, καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείας. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς, ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντός ἐστιν ἡ εὐσέβεια, καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐδ᾽ οὐ μὴ παρελεύσεται πονηροὺς ἐλέγχουσα ἡ δίκη. Εἶπον γὰρ ἐν ἑαυτοῖς, λογισάμενοι οὐκ ὀρθῶς· καταδυναστεύσωμεν τὸν δίκαιον· μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιὰς πρεσβύτου πολυχρονίους· ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος. Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν, καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος· ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς



κίβδηλον ἐλογίσθημεν αὐτῶν, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ μακαρίζει ἔσχατα δικαίων. Ἴδωμεν οὖν, εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ, καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν· ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. Ταῦτα ἐλογίσαντο καὶ ἐπλανήθησαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. Καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ, οὐδὲ ἔκριναν, ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων καὶ θανάτου τὴν ἐξουσίαν, καὶ σώζων ἐν καιρῷ θλίψεως, καὶ ῥυόμενος ἐκ παντὸς κακοῦ. Ὁ οἰκτίρμων καὶ ἐλεήμων, καὶ διδοὺς τοῖς ὁσίοις σου χάριν, καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

## Εἰς τὴν Λιτὴν στιχηρὰ Ἰδιόμελα.

### Ἦχος α΄.

Φιλοσοφίας ἔρωτι τρωθείς, ἱερώτατε, ῥεόντων τὸ ἄστατον κατεφρόνησας, καὶ τῶν ἁγίων τὸν βίον ἐζήλωσας, καὶ μάρτυς ἀπαράτρεπτος τῇ προαιρέσει γενόμενος, μετὰ τοῦ Προφητάνακτος ἔκραζες· ὡς ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός. Διὸ καὶ ὁ τὰ πάντα πρὸς τὸ μακάριον τέλος οἰκονομῶν σὲ προσήκατο καὶ ἐδόξασε, τέρασι καὶ σημείοις, Πέτρε ἀξιάγαστε.

### Ἦχος β΄.

Ἐνδιαίτημα τοῦ ἁγίου Πνεύματος Πάτερ γενό-



...ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ...

μενος, πράξει τε καὶ θεωρίᾳ κατακοσμούμενος, τοὺς νοητοὺς λύκους τῆς ποίμνης τοῦ Χριστοῦ, τῇ σφενδόνῃ τῶν λόγων σου ἀπεδίωξας, ταύτην δὲ εἰς νομὰς σωτηρίους καθοδηγήσας, καὶ τὸ δοθέν σοι τάλαντον πολυπλασιάσας, ἤκουσας τῆς μακαρίας φωνῆς· εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σὲ καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Ἦχος γ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθε δαυϊτικῶς ὁ φθόγγος σου, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα τὰ σά, ἱεράρχα πανσεβάσμιε· καὶ γὰρ τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, τῇ ἀστραπῇ τοῦ σοῦ κηρύγματος, τῆς πλάνης τὸ σκότος ἐφυγάδευσας· πάντων δὲ τὰς διανοίας καταυγάσας, ἐδίδαξας ὑμνεῖν Πατέρα καὶ Υἱόν, σὺν ἁγίῳ Πνεύματι, ἕνα Θεὸν τρισυπόστατον, ὃν ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ'.

Δεῦτε εὐφημήσωμεν πιστοί, Πέτρον τὸν θειότατον ἱεράρχην, τὸν πνευματοκινήτως κυρώσαντα τὸν τοῖς Πατράσιν ἐγχαραχθέντα ἁγιώτατον ὅρον, τὸν ἐπίγειον ἄγγελον καὶ οὐράνιον ἄνθρωπον, τὴν ἀκριβεστάτην στάθμην τῆς εὐσεβείας, τὴν εὔηχον



σάλπιγγα τοῦ λόγου, τὸν πρόμαχον τῆς πίστεως. Οὗτος γὰρ γενναίως ὑπὲρ τῆς ὀρθοδοξίας ἀγωνισάμενος, τὰς γλωσσαλγίας τῶν αἱρετιζόντων κατέρραξε, καὶ τὴν καλὴν τῆς πίστεως ὁμολογίαν ἡμῖν παρέδωκε. Διὸ τοῦτον μακαρίζοντες εἴπωμεν· μὴ διαλίπῃς πρεσβεύων ὑπὲρ ἡμῶν, Πάτερ ἁγιώτατε.

Δόξα, ἦχος πλ. δ'.

Σήμερον τῶν ἀγγέλων τὰ τάγματα, καὶ τῶν ἁγίων οἱ δῆμοι, σκιρτῶσιν ἐν πνεύματι, ἐπὶ τῇ μνήμῃ τοῦ ἐνδόξου διδασκάλου καὶ σεπτοῦ ἱεράρχου, Πέτρου τοῦ τρισμάκαρος. Βίον γὰρ ἰσάγγελον βιώσας, καὶ τὸ κατ' εἰκόνα ἀλώβητον τηρήσας, μοναζόντων ἐδείχθη ἀκρότης, καὶ ἱεραρχῶν τὸ σέμνωμα· καὶ νῦν ἐν οὐρανοῖς σὺν ἀγγέλοις χορεύων, παρίσταται τῷ θρόνῳ τῆς μεγαλωσύνης, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος, ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ ἱεράρχου, καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχον, Στιχηρὰ προσόμοια.

Ἦχος πλ. ά.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις τοῦ Βυζαντίου βλαστὸς, Πελοποννήσου τὸ λαμπρὸν ἀκροθίνιον, συμπάσης τε Ἀργολίδος, ἀρχιερεὺς ϗ ποιμὴν, ὁ πυρσὸς ὁ μέγας καὶ πολύφωτος, ἀστὴρ τηλαυγέστατος, νοητοῦ ϛερεώματος, ταῖς σαῖς ἀκτῖσι, καταυγάζων τὰ πέρατα, καὶ πληρῶν αὐτὰ, οὐρανίου ἐλλάμψεως, Πέτρε διδασκαλίαις σου, ϗ θείοις νοήμασι, Θεὸν κηρύττων τὸν ἕνα, τρισὶ προσώποις ὑμνούμενον, καὶ πᾶσι διδόντα, ἱλασμὸν καὶ σωτηρίαν, καὶ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Δόξῃ τῇ ἀκηράτῳ σοφὲ, λελαμπρυσμένος, εἰς τὰ ἄνω βασίλεια, μετέστης ἠμφιεσμένος, ἱεραρχίας στολὴν, ἣν ἀξίως Πάτερ περιβέβλησαι, ϗ νῦν ἀξιάγαστε, ἱερεὺς ἐννομώτατος, ϗ τοῖς ἁγίοις, συμπολίτης καὶ σύσκηνος, παρίστασαι ὅσιε, σὺν προφήταις καὶ μάρτυσι, θρόνῳ τῷ τοῦ Παντάνακτος, φωτός τε πληρούμενος, τοῦ ἀπροσίτου καὶ θείου, τῆς τρισηλίου θεότητος, ἣν Πέτρε δυσώπει, καταπέμψαι, τοῖς τιμῶσί σε μέγα ἔλεος.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Ὤφθης ἀρχιερέων κανὼν, λαὸν Κυρίου σου ποιμάνας σοφώτατα, καὶ τοῦτον ἐκ τῆς δουλείας τοῦ νοητοῦ Φαραὼ, ὡς Μωσῆς ὁ μέγας λυτρωσάμενος, ἰθύνων εὐθύτατα, πρὸς τὰ ἄνω βασίλεια, ἔνθα ὑπάρχει, ἡ τρυφὴ ἡ ἀδάπανος, καὶ τὸ ἄῤῥητον, ϗ ἀμήχανον αὔγασμα, Πέτρε μακαριώτατε· διό σε γεραίρομεν, ϗ μετὰ πόθου τελοῦμεν, τὴν ἱεράν σου πανήγυριν, Χριστὸν ἀνυμνοῦντες, τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.



Δόξα, ἦχος πλ. δ'.

Ποιμένα καὶ διδάσκαλον, καὶ θησαυρὸν πολύτιμον, ἡ πόλις τῶν Ἀργείων σὲ εὕρατο, καὶ πᾶσα ἡ Ἑλλὰς ἐπὶ τῇ σῇ προστασίᾳ ἐγκαυχωμένη, γηθοσύνως ἀνακράζει· τοιοῦτος ἔπρεπέ μοι ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, καὶ μιμητὴς τοῦ ἀρχιποίμενος Χριστοῦ. Διὸ πάνσοφε ἱεράρχα, ὡς παῤῥησίαν πρὸς Θεὸν κεκτημένος, τὴν ποίμνην σου διαφύλαττε, καὶ σῶζε πειρασμῶν καὶ κινδύνων, καὶ πάσης κακώσεως, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Καὶ νῦν, τῆς ἑορτῆς.

Ἀπολυτίκιον.

Τὸν συνάναρχον Λόγον.

Τὸν φρουρὸν καὶ προστάτην Ἀργείων ἅπαντες, Ἀργολίδος τε πάσης τὸν ἀντιλήπτορα, εὐφη-

ΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑ

μήσωμεν πιστοὶ, Πέτρον τὸν ἔνδοξον, τὸν ποιμάναντα σοφῶς τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, Πατέρων τὸ θεῖον κλέος· πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς ἑορτῆς.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὸ Θεὸς Κύριος, τὸ Ἀπολυτίκιον.

Τὸν φρουρὸν καὶ προστάτην.

Μετὰ τὴν Α' στιχολογίαν, Κάθισμα. Ἦχος πλ. δ'.

Τὴν σοφίαν καὶ Λόγον ἐν σῇ γαστρί.

Ἀναβὰς εἰς τὸ ὄρος τῶν ἀρετῶν, καὶ τὰς πλάκας δεξάμενος ὡς Μωσῆς, τὸν νόμον τῆς χάριτος, ἐν καρδίᾳ σου ἔγραψας, αἱρετιζόντων τε θράση, ἐν τούτῳ κατέβαλες, τοῖς πᾶσι τρανώσας, Τριάδα τὴν ἄκτιστον. Ὅθεν καὶ πρὸς γνῶσιν ἀληθείας ἀνάγων, λαὸν περιούσιον τὴν σὴν ποίμνην ἀπέφηνας, ἱεράρχα θεόσοφε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων δοῦναι τὴν συγχώρησιν, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα, τὸ αὐτό.
Καὶ νῦν, τῆς ἑορτῆς.



Μετὰ τὴν Β' στιχολογίαν, Κάθισμα. Ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Ὡς θυσία καθαρὰ, προσενεχθεὶς δι' ἀρετῆς, τῷ τυθέντι δι' ἡμᾶς, καὶ ἀναστάντι ἐκ νεκρῶν· πάντα τὸν βίον διήνυσας ἐν ἀγῶσι, λάμπων τηλαυγῶς ἐν τοῖς ἔργοις σου, κηρύσσων τοῖς λαοῖς τὰ θεῖα δόγματα· καὶ ἐκδιδάσκων ἅπαντας λατρεύειν, ἕνα Θεὸν τρισυπόστατον· Αὐτὸν δυσώπει, ὑπὲρ τῶν πίστει, Πέτρε σὲ εὐφημούντων.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς ἑορτῆς.

Μετὰ τὸν Πολυέλαιον, Κάθισμα. Ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Σὺ δόξα καὶ καύχημα, πάντων πιστῶν πεφυκὼς, ἐλάμπρυνας λόγοις σου, τὴν Ἐκκλησίαν Χριστοῦ, τὴν πίστιν ἐτράνωσας, ἔπλησας τὴν Ἑλλάδα διδαγμάτων ἐνθέων, πόλιν τὴν τῶν Ἀργείων τῶν πολλῶν σου θαυμάτων· διό σε ἀνευφημοῦμεν, Πέτρε τρισόλβιε.

Δόξα, τὸ αὐτό.

Καὶ νῦν, Θεοτοκίον.

Παρθένε πανάμωμε, μόνη ἐλπὶς τῶν πιστῶν, τοὺς δούλους σου φύλαττε, τοὺς πεφευγότας πρὸς σὲ, ἀπαύστως πρεσβεύουσα· ἔχεις γὰρ παρρη-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΔΩΡΕΑ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σίαν, πρὸς τὸν πάντων Δεσπότην, μήτηρ οὖσα τοῦ Λόγου, ϗ Θεοῦ Παναγία. Διὸ ϗ σώζεις τοὺς πόθῳ σε μεγαλύνοντας.

Οἱ Ἀναβαθμοί, τὸ Α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον, ἦχος δ'.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Τὸ Πᾶσα πνοή.

Τὸ Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος· ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας.

Ὁ Ν'.

Δόξα, Ταῖς τοῦ Ἱεράρχου.

Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου.

Εἶτα τὸ παρὸν Ἰδιόμελον. Ἦχος πλ. β'.

Πατέρων δόξα, Πέτρε παμμακάριστε, σὺ ϗ ζῶν κατὰ τῆς πλάνης τοῦ ἐχθροῦ ἠγώνισαι, σὺ ϗ μετὰ θάνατον τὴν ποίμνην σου φρουρεῖς ϗ σκέπεις, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Τὸ Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

Ὁ Κανὼν τοῦ Ἁγίου εἰς δ', καὶ τῆς ἑορτῆς εἰς ς'.

Ὁ Κανὼν τοῦ Ἁγίου Ὠδὴ α'. Ἦχος δ'.

οὗ ἡ ἀκροστιχίς: « Ἀργολίδος δανικῆς Πετρούλιας ἔπος ΑΩΟ̅ », [illegible]

Ἀνοίξω τὸ στόμα μου.

Ἀγάλλονται σήμερον, πιστῶν ἁπάντων συστήματα, ὁσίων οἱ δῆμοί τε, ἱεραρχῶν οἱ

ΑΩΟ̅ = 1870



χοροί, ἐν τῇ μνήμῃ σου, σεπτὲ ἱεροφάντα, ϗ ὕμνοις τιμῶσί σε, Πέτρε ἀοίδιμε.

Ῥημάτων ὁ φθόγγος σου, ϗ τῶν δογμάτων ἡ εὔσημος, κιθάρα διέδραμε, τὴν οἰκουμένην σαφῶς, τὸ μυστήριον, τὸ τῆς οἰκονομίας, τοῦ Λόγου διδάσκουσα, Πέτρε θεόληπτε.

Γονέων εὐσέβειαν, ϗ βιωτὴν ἐκμιμούμενος, τοῦ κόσμου κατέλιπες, πλοῦτον ϗ δόξαν σοφέ, καὶ ἀράμενος, σταυρόν σου θεοφόρε, ἀγῶσιν ἀσκήσεως, Πέτρε ἐξέλαμψας.

Θεοτοκίον.

Ἐκύησας Πάναγνε, παρθενικῶν ἐξ αἱμάτων σου, Υἱὸν προαιώνιον, τοῦ προανάρχου Πατρὸς, καὶ ἐκόσμησας, τὴν φύσιν τῶν ἀνθρώπων, παρθένος τε ἔμεινας, μῆτερ ἀπείρανδρε.

Καταβασίαι τῆς ἑορτῆς.

Ὠδὴ γ'.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ὁ βίος σου πᾶσιν ἐπιλάμπων, λαοὺς κατεφώτιζε πολλοὺς, ἄγων πρὸς τὴν ἐπίγνωσιν, τῆς ἀληθείας ἅπαντας, καὶ σὲ λαμπτῆρα ἄδυτον, αὐτοῖς ἐποίει μακάριε.

Λειμῶσι Γραφῶν τῶν θεοπνεύστων, ἐγκύψας ἀπήνθισας πιστῶς, διδάγματα σωτήρια, ἀναδιδάξας ποίμνην σου, λατρεύειν ὁμοούσιον, Τριάδα κῆρυξ τῆς χάριτος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΚΑΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἰθύνων καρδίας μοναζόντων, πρὸς τρίβους τῶν θείων ἐντολῶν, τούτους σοφῶς ἐδίδασκες, καταφρονεῖν προσκαίρων τε, ϗ αἰωνίων ἔχεσθαι, ἀγῶσι Πάτερ ἀσκήσεως. Θεοτοκίον.

Τὸν ἄχρονον καὶ πρὸ τῶν αἰώνων, ὑπάρχοντα τέτοκας Υἱὸν, Πατρὸς τὸν ὁμοούσιον, ἐν χρόνῳ ἀπειρόγαμε, Παρθένος διαμείνασα, μετὰ τὸν τόκον πανύμνητε.

Κάθισμα. Ἦχος πλ. δ'.

Τὴν σοφίαν καὶ Λόγον ἐν σῇ γαςρί.

Τὴν σοφίαν τῶν ἔξω καταμαθὼν, ϗ ἀκτῖσι τοῦ Πνεύματος αὐγασθεὶς, σοφὲ τὴν διάνοιαν, πρὸς τὰ ὕψη ἀνέδραμες, θεολογίας μάκαρ, τὸν κόσμον ἀρνούμενος, ϗ τὰς ἐρήμους ᾤκεις, Κορίνθου μακάριε. Ὅθεν ὁ δοξάζων τοὺς πιςοὺς αὐτοῦ δούλους, Θεός σε ἀνέδειξεν, ἱεράρχην θεσπέσιον, ϗ τῆς πίςεως πρόμαχον, κήρυκα τοῦ λόγου αὐτοῦ, ϗ θαυμάτων, ἔδωκέ σοι δύναμιν. Διὸ μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν τιμώντων σε.

Δόξα, τὸ αὐτό.

Καὶ νῦν, τῆς ἑορτῆς.

Ἁμαρτίας εἰς βάραθρον ἐμπεσὼν, καὶ οἰκτρῶς κατακείμενος ἐν αὐτῷ, πρὸς σὲ τὴν Πανάμωμον, ἀτενίζω ὁ ἄθλιος, ϗ παρὰ σοῦ ἐλπίζω, τυ-



χεῖν ἀντιλήψεως. Σὺ γὰρ ὑπάρχεις μόνη, πεσόντων ἀνόρθωσις, ὅτι ὁ Δεσπότης ϗ Θεὸς τοῦ ἐλέους, ἐν σοὶ κατεσκήνωσε, ϗ τοῦ κόσμου ἀνέδειξε, προςασίαν ἀπρόσμαχον. Πρέσβευε τῷ σῷ Υἱῷ ϗ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Διετέλεσας διδάσκων, τὰ σωτήρια δόγματα, τῆς ὀρθοδοξίας, Πέτρε ϗ σὴν ποίμνην ἀκήρατον, διαφυλάξας ἐξέθρεψας τοῖς ἄνθεσι, ϗ ἐπίανας, πόᾳ λειμώνων τῆς χάριτος.

Οὐρανίων μυςηρίων, λειτουργὸς ἀναδέδειξαι, ἀναιμάκτως θύων, Πάτερ τὸν ἀμνὸν τοῦ Θεοῦ ἡμῶν, τὸν σαρκωθέντα ϗ σώσαντα τὸν ἄνθρωπον, ϗ ὡς ἄγγελος χαίρων ἔψαλλες, ὕμνον ἀεὶ τὸν τρισάγιον.

Σωφροσύνῃ ϗ ἀνδρείᾳ, ἐγκρατείᾳ ϗ σκάμμασι, τὴν ψυχὴν καθάρας, ἔφθασας ἀγγέλων τὰ τάγματα, τὸν βίον ὧν ἀμέμπτως ἐζήλωσας, ἱερώτατε, σκεῦος γενόμενος Πνεύματος. Θεοτοκίον.

Ὁ πανάγιός σου τόκος, τοὺς ἀνθρώπους ἐρρύσατο, ἐκ φθορᾶς καὶ σκότους, πάναγνε Παρθένε ϗ ἄγγελοι, ὑμνολογοῦντες αὐτὸν σὲ μακαρίζουσιν, ἀναμέλποντες· χαῖρε πιςῶν ἡ βοήθεια.

Ὠδὴ ε'. Ἐξέςη τὰ σύμπαντα.

Δρεπάνῃ τῶν λόγων σου, ϗ ἱεροῖς διδάγμασιν,

...ΑΔΕΙΟΣ ΒΙΒΛΙΟ... ...ΤΟΡΗΣ ΠΑΠΑ...

ἔτεμες αἱρέσεων ἀκάνθας, σῶον φυλάξας τὸν τοῦ Κυρίου λαὸν, ϗ θεὶς τὴν ψυχὴν ὑπὲρ αὐτοῦ, ἀσινῆ παρέδωκας, τῷ σοφῷ Ἀρχιποίμενι.

Ἀςὴρ φαεινότατος, ἐξ ἕω ἀνατέταλκας, πάσῃ τε Ἑλλάδι ἐπεφάνης, λάμπων ἀκτῖσι θεοσοφίας τῆς σῆς, ϗ πλάνης ζιζάνια πυκνὰ, φλέγων τὰ λυμαίνοντα, σωτηρίας τὰ σπέρματα.

Νικήσας κατέῤῥαξας, δαιμόνων μηχανήματα, ὅπλῳ τοῦ ςαυροῦ ϗ ἐγκρατείᾳ, σάρκα δουλώσας ϗ ὑποτάξας ςεῤῥῶς, τὸ χεῖρον τῷ κρείττονι δειχθεὶς, Πέτρε ἀπροσμάχητος, ἀριςεὺς ϗ ἀήττητος.

Ἱλέῳ τῷ ὄμματι, ἐπὶ τὴν ποίμνην ἔπιδε, Σῶτερ τοῦ πιςοῦ θεράποντός σου, Πέτρου τοῦ θείου, παριςαμένου ἀεὶ, τῷ θρόνῳ τῷ σῷ ϗ ἐκτενῶς, σὲ καθικετεύοντος, ὑπὲρ ταύτης φιλάνθρωπε. Θεοτ.

Στενούμενος θλίψεσι, ϗ πάθεσι χωννύμενος, σὲ τῶν οὐρανῶν τὴν πλατυτέραν, καθικετεύω, μήτηρ τοῦ ζῶντος Θεοῦ, πλάτος εἰρηναίας μοι ζωῆς, ὕψος ἀπαθείας τε, ταῖς πρεσβείαις σου βράβευσον.

Ὠδὴ ς'. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ἡ πόλις σύμπασα σήμερον, Ἀργείων γηθοσύνως γεραίρει σου, μνήμην τὴν ἔνδοξον, Πέτρε ϗ ᾄδει βοῶσά σοι· σαῖς πρὸς Θεὸν πρεσβείαις ἡμᾶς διάσωζε.



Λιμένα θεῖον ϗ εὔδιον, ϗ πρέσβυν Ἀργολὶς σὲ ἐκτήσατο, πρὸς τὸν φιλάνθρωπον, Πέτρε Θεὸν πανευπρόσδεκτον, ϗ τὴν ἐλπίδα πᾶσαν εἰς σὲ ἀνέθετο.

Πηγὴ ἰάσεων γέγονε, σωρὸς ἡ τῶν λειψάνων σου Ἅγιε, μύρα ἐκβλύζουσα, πᾶσι τοῖς πίςει προςρέχουσι, ϗ αἰτουμένοις Πέτρε τὴν σὴν βοήθειαν.

Θεοτοκίον.

Ἁγνὴ Παρθένε ἱκέτευε, Θεὸν ὃν ἀποῤῥήτως ἐγέννησας, ϗ ἐγαλούχησας, ῥῦσαι κινδύνων ϗ θλίψεων, ϗ σωτηρίαν πᾶσιν ἡμῖν δωρήσασθαι.

Κοντάκιον. Ἦχος δ'.

Τῇ ὑπερμάχῳ ςρατηγῷ τὰ νικητήρια.

Τῆς Ἐκκλησίας τὸν ἀςέρα τὸν πολύφωτον, τὸν καταυγάζοντα πιςοὺς θείοις διδάγμασιν, εὐφημήσωμεν ἀξίως Ἑλλήνων παῖδες· Ὀρθοδόξων ςύλον ὄντως. ἀπερίτρεπτον· Ἀργολίδος κλεινὸν, ποιμένα ϗ διδάσκαλον, ἀνακράζοντες· χαίροις Πέτρε ἀοίδιμε. Ὁ Οἶκος.

Νάμασι ζωῤῥύτοις, οὐρανίου σοφίας, τὴν ἄρουραν ἀρδεύσας Κυρίου, ϗ δόγμασι πιάνας αὐτὴν, τῷ ἀρότρῳ Πέτρε τῶν σοφῶν λόγων σου ἐνέωσας, ϗ ἔδειξας πολύφορον, διὸ βοῶμέν σοι·

Χαίροις, τερπνὸν Βυζαντίου ἄνθος,
Χαίροις, ςεῤῥὸν τῆς Ἑλλάδος σθένος.

Χαίροις, ἱεραρχῶν λαμπρὸν ἀκροθίνιον,
Χαίροις, τῶν ἀσθενῶν κοινὸν καταφύγιον.
Χαίροις, μύςα ἱερώτατε μυςηρίων τῶν φρικτῶν,
Χαίροις, ῥύςα αὐτεπάγγελτε αἰχμαλώτων καὶ πτωχῶν.
Χαίροις, τῶν ὀρθοδόξων ἑδραιότατος πύργος,
Χαίροις, τῶν κακοδόξων φλογερώτατος μύδρος.
Χαίροις, λιμοκτονούντων τροφεὺς ἑτοιμότατος,
Χαίροις, ἁμαρτανόντων σωτὴρ συμπαθέστατος.
Χαίροις, ἁπάντων πιςῶν λαμπαδοῦχος,
Χαίροις, Ἀργείων πιςὸς πολιοῦχος.
Χαίροις, Πέτρε ἀοίδιμε.

Τῷ αὐτῷ μηνὶ γ΄, μνήμη τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Πέτρου ἀρχιεπισκόπου Ἄργους καὶ Ναυπλίου, τοῦ θαυματουργοῦ.

Στίχοι.

Ῥίψας τὸν ἐχθρὸν ἔνθεν ἀτρώτῳ βίῳ,
Νίκης ςέφος, Πέτρε, ἔχεις ἐν οὐρανοῖς.
Πέτρος ἐνὶ τριτάτῃ ἀνεβήσατο θεῖον ἐς ἄστυ.

Ο λαμπρὸς καὶ πανεύφημος οὗτος τῆς Ἐκκλησίας ἱεράρχης ἤκμασε περὶ τὰς ἀρχὰς τοῦ Θ΄ μετὰ Χριςὸν αἰῶνος, γεννηθεὶς ἐν τῇ βασιλευούσῃ τῶν πόλεων ἐκ γονέων οὐ μόνον τῇ τοῦ γένους περιφανείᾳ, ἀλλὰ καὶ τῇ ἀρετῇ καὶ εὐσεβείᾳ διαπρεπόντων. Ἤδη δ᾽ ἐκ παιδὸς τοῖς ἱεροῖς γράμμασι σχολάσας, καὶ τῇ θύραθεν παιδείᾳ μετὰ ζήλου ἐπιδοθείς, παρὰ πάντων ἐθαυμάζετο διά τε τὸ ὀξὺ τοῦ πνεύματος καὶ τὸ ἀντιληπτικὸν καὶ εὐρὺ τῆς διανοίας, καὶ τὸ τῆς κρίσεως ὀρθόν. Νέος δ᾽ ἔτι ὤν, τὸ μοναχικὸν σχῆμα περιβάλλεται μετὰ τοῦ νεωτέρου ἀδελφοῦ Πλάτωνος, κατὰ μίμησιν τῶν ἑαυτῶν γονέων καὶ τῶν



δύο πρεσβυτέρων ἀδελφῶν, Διονυσίου καὶ Παύλου, οἳ τὰ τοῦ κόσμου ἀρνησάμενοι, ἠσπάσαντο τὸν μοναχικὸν βίον, καρέντες ἔν τινι τῶν ἐν Κωνςαντινουπόλει ἱερῶν μονῶν. Ἐκεῖ ὁ θεῖος Πέτρος, ἀνενδότως εἰς τοὺς ἀσκητικοὺς ἀγῶνας ἀποδυθείς, τοιοῦτος μετ᾽ οὐ πολὺ ἀνεφάνη, ὥςε οἱ πάντες ἐτίμων αὐτὸν καὶ ἐλάμβανον ὡς κανόνα καὶ ὑπογραμμὸν τῆς μοναςικῆς ζωῆς καὶ πολιτείας. Αἱ ἔξοχοι αὗται τοῦ ἀνδρὸς ἀρεταὶ οὐκ ἂν ἔσχον πάντως ἐν κρυπτῷ τυγχάνειν τῷ τότε τὸ πηδάλιον τῆς Ἐκκλησίας εὐκλεῶς ἰθύνοντι πατριάρχῃ Νικολάῳ, τῷ Μυςικῷ ἢ Παλαιῷ ἐπιλεγομένῳ. Καὶ δή, χηρεύοντος τοῦ τῆς Κορίνθου ἀρχιερατικοῦ θρόνου, ἀνδρὸς δ᾽ ἐπιζητουμένου ἐπ᾽ αὐτὸν ἐν ἀρετῇ διαλάμποντος, καὶ ςηρίζειν τοὺς λαοὺς εἰς τὴν εὐσέβειαν δυναμένου, ὁ Πατριάρχης οὐδὲν μελλήσας, πάντα μετέρχεται τρόπον ὅπως πείσῃ τὸν Ἅγιον τὴν ἀρχιερωσύνην ἀναδέξασθαι. Ἀλλ᾽ ὁ Πέτρος, τὸ βαρὺ καὶ δυσβάςακτον τοῦ ἀξιώματος ἀναλογιζόμενος, καὶ τὰς μεγάλας καὶ πολλὰς τούτου εὐθύνας φοβούμενος, ἀπεποιεῖτο τῆς ἐπὶ τὸ ἀρχιερατεῦσαι κλήσεως. Ὁ δὲ Πατριάρχης, ἀποτυχὼν τοῦ σκοποῦ, τρέπεται πρὸς Παῦλον τὸν ἀδελφὸν αὐτοῦ, ὃν καὶ ἀρχιεπίσκοπον προχειρίζει Κορίνθου. Οὐ μὴν ἀλλὰ καὶ μετὰ τοῦτο οὐκ ἐπαύετο προσκείμενος τῷ Ἁγίῳ καὶ παντὶ σθένει ἀγωνιζόμενος τῇ τῶν ἐπισκόπων χορείᾳ κατατάξαι αὐτόν. Ὁ δὲ Πέτρος, φοβούμενος μὴ εἰς τέλος ἐκβιασθῇ ὑπὸ τῶν προτροπῶν τοῦ Πατριάρχου, καταλιπὼν τὴν Κωνςαντινούπολιν, ἠκολούθησε τῷ Παύλῳ εἰς Κόρινθον, ἔνθα ἐπὶ πολὺν χρόνον διέμεινεν ἀσκητεύων ἐν τοῖς ἐκεῖ ἡσυχα-

ϛηρίοις. Καίτοι δὲ ὁ ἅγιος, ὑπ' ἄκρας ταπεινοφροσύνης ἐμπνεόμενος, ἀπέφευγε τὴν δόξαν τῶν ἀνθρώπων, ἀλλ' ὅμως ὁ δοξάζων τοὺς αὐτὸν δοξάζοντας πανάγαθος Θεὸς ἔτι μᾶλλον ἀνεδείκνυε καὶ κατάδηλον τῷ κόσμῳ ἐποίει τὸν ἀνεκτίμητον τοῦτον τῆς Ἐκκλησίας θησαυρόν.

Ἡ φήμη οὖν τοῦ Πέτρου, καίπερ κρυπτομένου, διέτρεχε τὴν Πελοπόννησον καὶ πᾶσαν τὴν Ἑλλάδα διαθρυλλοῦσα τὰς ἀρετὰς αὐτοῦ. Διὸ, τοῦ ἀρχιερέως Ἄργους καὶ Ναυπλίου πρὸς Κύριον ἐκδημήσαντος, οἱ ἐκεῖ χριϛιανοὶ πέμπουσι πρεσβείαν πρὸς τὸν ἀρχιεπίσκοπον Κορίνθου Παῦλον, δεόμενοι ὅπως πείσῃ τὸν ἀδελφὸν αὐτοῦ Πέτρον ἀναλαβεῖν τὴν χηρεύουσαν αὐτῶν ἐπισκοπήν· ὅπερ μαθὼν ὁ Πέτρος, ἀνεχώρησε κρύφα, καὶ ἐπὶ πολὺ διετέλει ἄγνωϛος τῷ τε ἀδελφῷ καὶ τοῖς ζητοῦσιν αὐτόν. Ἀλλὰ τελευταῖον ταῖς παρακλήσεσι καὶ τοῖς δάκρυσιν αὐτῶν καμφθεὶς, ἀνελάβετο τὴν ποιμαντορίαν.

Ἀναβάντος τοίνυν τοῦ θείου Πέτρου ἐπὶ τὸν ἀρχιεπισκοπικὸν θρόνον, ἐτέθη ἀληθῶς ὁ λύχνος ἐπὶ τὴν λυχνίαν, ἵνα λάμπῃ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Ὅθεν ἀναδεξάμενος τὴν διοίκησιν τῆς Ἐκκλησίας, ἔσπευσε παραχρῆμα ἵνα τὸν ἐμπρέποντα αυτῇ ἀποδῷ κόσμον. Διατάξας οὖν μετὰ θαυμαϛῆς συνέσεως καὶ σοφίας τὰ τῶν ἐκκλησιαϛικῶν καὶ τοῦ κλήρου, ἐπεδόθη εἰς νέους πνευματικοὺς ἀγῶνας. Καὶ γὰρ τὸ ὑψηλὸν τῆς ἀρχιερωσύνης ἀξίωμα ἠνέῳξε τῷ Ἁγίῳ εὐρύτατον ἐνεργείας ϛάδιον, καὶ οὕτω τὰ μέχρι τοῦδε κεκρυμμένα πλεονεκτήματα αὐτοῦ ἔμελλον νῦν τελεσφόρα γενέσθαι ἐπὶ τὰς ψυχὰς ἀπείρου λαοῦ. Διὸ ὁ πλοῦτος τῆς σοφίας αὐτοῦ



ἤρξατο ἐκκενοῦσθαι καὶ μεταδίδοσθαι ἀφθόνως τοῖς πᾶσιν. Οἱ θησαυροὶ τῆς καλλιγόνου αὐτοῦ διανοίας ἐγίνοντο ἐπὶ μᾶλλον προσιτοὶ τοῖς δεομένοις· τὰ σωτήρια νάματα τοῦ θείου λόγου, τὰ ἐκ τῆς εὐφραδείας καὶ πειστικῆς δυνάμεως τοῦ Ἁγίου ἀφθόνως ἐκχεόμενα, κατήρδευον πολυχευμόνως καὶ δαψιλῶς τὴν πνευματικὴν ἄρουραν, καὶ πολλοὺς καὶ ἀγλαοὺς παρῆγον καρποὺς ἀρετῶν καὶ εὐσεβείας. Οἱ λόγοι ἔρρεον ἀπὸ τοῦ ϛόματος τοῦ Ἁγίου γλυκύτεροι μέλιτος. Τὸ παράδειγμα τοῦ πρακτικοῦ αὐτοῦ βίου, ϛηρίζον τὴν διδασκαλίαν, διέλαμπε πανταχοῦ, ὥϛε οἱ πάντες, τοῖς ἔργοις αὐτοῦ ἐνοπτριζόμενοι, καὶ τῶν διδαγμάτων αὐτοῦ ἐμφορούμενοι, ἡμιλλῶντο ἵνα ῥυθμίζωσι τὰς ἑαυτῶν πράξεις πρὸς τὴν κατὰ Χριϛὸν πολιτείαν. Φρουρὸς οὖν ἄγρυπνος καὶ ποιμὴν ἀκοίμητος τῆς ποίμνης τοῦ Χριϛοῦ, ζηλωτὴς δ' ἅμα τῶν πατρικῶν παραδόσεων καὶ τῶν ἱερῶν τῆς πίστεως δογμάτων διατελῶν, ἀτρύτους κατέβαλλε πόνους ὅπως ταῦτα σῶα καὶ ἀνέπαφα διατηρῶνται. Διὸ πολλὰ καὶ λαμπρὰ τῆς ὀρθοδοξίας ἐστήσατο τρόπαια· ἐπειδὴ, καίτοι ὁ ἐπὶ πολὺν χρόνον τὴν μίαν καὶ ἀδιαίρετον Ἐκκλησίαν τοῦ Χριστοῦ συνταράσσων καὶ διασχίζων σάλος τῶν αἱρέσεων ἐφαίνετο τότε κοπάσας, ἀλλ' ὅμως ῥίζαι τῆς δυσσεβείας ἐσώζοντο εἰσέτι, καὶ οὐ σπανίως ἀνεφύοντο ἐν τῷ ἀγρῷ τοῦ Κυρίου ζιζάνια, τὸν γνήσιον σπόρον τοῦ εὐαγγελικοῦ κηρύγματος λυμαινόμενα, καὶ τὴν ἐλευθέραν βλάϛησιν αὐτοῦ παρεμποδίζοντα. Ἐκεῖνο δὲ, ὅπερ ἔτι μᾶλλον ἀπεδείκνυε τὸν Ἅγιον ἀγαπητὸν καὶ

βαθὺ τὸ πρὸς αὐτὸν σέβας τῶν πιστῶν ἐξήγειρεν, ἣν ὁ διακαὴς αὐτοῦ ζῆλος ὑπὲρ τῆς ἀπολυτρώσεως τῶν ὑπὸ τῶν πειρατῶν αἰχμαλωτευομένων χριστιανῶν, καὶ ἡ προθυμία, μεθ' ἧς διέτρεχε τὰς πόλεις καὶ τὰ φρούρια βοηθῶν καὶ παραμυθούμενος τοὺς ἐν ἀνάγκαις.

Τοιοῦτος οὖν ἀναφανεὶς ὁ Ἅγιος, ἀξιοῦται καὶ προορατικοῦ χαρίσματος καὶ θαυματουργικῆς δυνάμεως, ὥστε πολλὰ αὐτὸν προγνόντα προειπεῖν, ἃ καὶ συνέβησαν ἐν τοῖς καιροῖς, τοῖς ὑπ' αὐτοῦ προῤῥηθεῖσιν.

Ὀλίγα δὲ ἐκ τῶν πολλῶν θαυμάτων, ὅσα ἐν τῷ ὀνόματι τοῦ Σωτῆρος ἐτέλει, μνημονευόμενα ἐνταῦθα, καταδείξουσιν ἡμῖν οἵαν καὶ ὅσην παῤῥησίαν ἐκτήσατο πρὸς τὸν ποιοῦντα μεγάλα καὶ θαυμαστά, ἔνδοξά τε καὶ ἐξαίσια.

Μεγάλου καὶ ἰσχυροῦ λιμοῦ ἐνσκήψαντός ποτε τῇ τε πόλει τῶν Ἀργείων καὶ τοῖς πέριξ, οἱ λαοὶ ἔτρεχον ἀθρόοι πρὸς τὸν Ἅγιον αἰτοῦντες ἄρτους· οὗτος δὲ πᾶσαν μὲν τὴν οὐσίαν αὐτοῦ εἰς βοήθειαν αὐτῶν καταναλώσας, οὐδενὸς δὲ ἄλλου, ἢ μόνον πίθου ἀλεύρου ὑπολειπομένου αὐτῷ, πιστεύων εἰς τὸν Θεόν, ἐπεκαλέσατο ἐν τῇ δεινῇ ἐκείνῃ περιστάσει τοῦ λιμοκτονοῦντος λαοῦ τὴν θείαν ἀρωγήν, καί, ὢ τοῦ θαύματος! τὸ ἐν τῷ πίθῳ ἐκείνῳ ὀλίγον ἄλευρον ἐγένετο ἀκένωτον καὶ ἀνεξάντλητον, ὡς ἡ ὑδρία τῆς ἐπὶ Ἠλιοὺ τοῦ Θεσβίτου χήρας, καὶ ἐπήρκεσεν εἰς διατροφὴν τῶν πεινώντων, ἄχρις οὗ ἡ θεομηνία καὶ ὁ λιμὸς παρῆλθον.

Ἔτι δὲ ἐμφανεστέρα ἡ πρὸς Κύριον παῤῥησία τοῦ Ἁγίου καταδείκνυται καὶ ἐκ τοῦ ἑπομένου θαυματουργήματος.



Νεᾶνίς τις, πολυετῶς ὑπὸ πονηροῦ καὶ ἀκαθάρτου πνεύματος κατεχομένη, φέρεται ὑπὸ τῶν συγγενῶν πρὸς τὸν Ἅγιον, παρακαλούμενον βοηθῆσαι αὐτῇ· οὗτος δέ, τῇ δυνάμει καὶ ἐξουσίᾳ τοῦ εἰπόντος τοῖς πιστεύουσιν εἰς αὐτόν· «Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε αὐτὰ ἐκβάλλειν», τὸν νοῦν καὶ τὴν καρδίαν πρὸς οὐρανὸν ἀνατείνας, ἐπετίμησε τῷ δαιμονίῳ καὶ ἐπέταξεν αὐτῷ ἐξελθεῖν ἀπ' αὐτῆς· καί, ὢ τοῦ θαύματος! ἡ ἐπὶ τοσοῦτον χρόνον ἐλεεινῶς βασανιζομένη νεᾶνις παραχρῆμα ἐλευθερωθεῖσα καὶ ἰαθεῖσα, ἤρξατο εὐχαριστεῖν καὶ δοξάζειν τὸν Θεόν, τὸν δόντα τοιαύτην ἐξουσίαν τοῖς ἀνθρώποις.

Ἐν γένει δὲ εἰπεῖν, πολλὰ ὑπερφυῆ καὶ παράδοξα θαύματα τῇ προσευχῇ καὶ τῇ θερμῇ εἰς τὸν Θεὸν πίστει ἐτέλεσεν ὁ θεῖος Πέτρος, χωλοὺς ἀνορθώσας, λεπροὺς καθαρίσας, παραλύτους συσφίγξας καὶ ποικίλας νόσους τῇ ἐπιθέσει τῶν χειρῶν ὡς ἄλλος Ἀπόστολος θεραπεύσας.

Ἡ πρὸς τὰς χήρας καὶ τὰ ὀρφανὰ συμπάθεια τοῦ Ἁγίου ἦν παραδειγματικὴ καὶ φιλόστοργος. Ἡ πρὸς τοὺς ὑπὸ τῶν ἰσχυρῶν πιεζομένους καὶ ἀδικουμένους προστασία καὶ ὑπεράσπισις αὐτοῦ, ἔνθερμος καὶ ἀκαταμάχητος· ἐπειδὴ ἡ δύναμις τῶν λόγων αὐτοῦ, στηριζομένη ἐπὶ τῆς εὐσεβείας καὶ τῆς ἀρετῆς, ἀπεδείκνυεν αὐτὸν σεβαστὸν τοῖς πᾶσι καὶ τοὺς πάντας κατέπειθεν.

Ὅθεν, ὅτε ἐπὶ τῆς δευτέρας πατριαρχείας τοῦ Νικολάου συνεκροτήθη ἐν Κωνσταντινουπόλει (τῷ 922) ἡ παρὰ τοῦ αὐτοκράτορος Κωνσταντίνου τοῦ Πορφυρογεννήτου συγκλη-

θεῖσα Σύνοδος, ἡ τὸν περίφημον Τόμον τῆς Ἑνώσεως ἐκδοῦσα, ὁ μακάριος Πέτρος, παρευρεθεὶς ἐν αὐτῇ, γενναίως ἠγωνίσατο ὑπὲρ τῆς ὀρθοδοξίας καὶ τῆς κυρώσεως τῶν ὑπὸ τῶν προγενεςέρων Συνόδων ἐψηφισμένων.

Ἀλλά, πρὶν ἢ περάνωμεν τὰ περὶ τοῦ βίου τοῦ Ἁγίου, ἀναγκαῖον κρίνομεν μνείαν ποιήσασθαι καὶ τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Θεοδοσίου τοῦ Νέου, ἅτε δὴ ἅμα τῷ θείῳ Πέτρῳ ἀκμάσαντος καὶ συνεργοῦ αὐτῷ γενομένου τοῖς ὑπὲρ τῶν πιςῶν ἱεροῖς αὐτοῦ ἀγῶσιν.

Ἐγεννήθη μὲν γὰρ ὁ Θεοδόσιος τῷ 862 μετὰ Χριςὸν ἐν Ἀθήναις, καὶ ἤσκησεν ἐν τῷ κατὰ τὸν δῆμον Μηδείας τῆς Ἀργολίδος ἔτι καὶ νῦν σωζομένῳ καὶ ἐπ' ὀνόματι αὐτοῦ τιμωμένῳ μονυδρίῳ (1). Ἀλλὰ πρὸ τῆς εἰς Κωνςαντινούπολιν μεταβάσεως τοῦ Πέτρου διὰ τὴν Σύνοδον ἐκείνην, ὡς ἤδη εἴρηται, ὁ ὅσιος ἀσκητὴς ἐτύγχανε διαβεβλημένος ὢν τῷ Πέτρῳ οἷόν τις ἀγύρτης καὶ λαοπλάνος, οὕτως ἐντέχνως καὶ πειςικῶς, ὥςε βουλεύσασθαι τὸν Ἅγιον ἅμα τῇ ἐκ Κωνςαντινουπόλεως ἐπανόδῳ ἐκβαλεῖν αὐτὸν τῆς ἑαυτοῦ ἐπισκοπῆς.

Ἔτι δ' ἐν τῇ βασιλευούσῃ διατρίβοντι τῷ Πέτρῳ ἐπιφανεὶς ὁ Θεοδόσιος ἐν ὁράματι, καὶ πᾶσαν τὴν κατ' αὐτοῦ σκευωρίαν φανερὰν ποιήσας, ἐδέετο αὐτοῦ ἵνα μὴ τῇ συκοφαντίᾳ πιςεύσῃ. Τὸν αὐτὸν δὲ χρόνον καὶ τῷ Πατριάρχῃ ἐπιφανείς, ὡσαύτως ἐν ὁράματι, παρεκάλει αὐτὸν ἀποτρέψαι τὸν Πέτρον τῶν αὐτοῦ βουλευμάτων· ὅπερ καὶ ἐγένετο, τοῦ τε Πατριάρχου καὶ τοῦ Πέτρου ἀνακοινωσαμένων ἀλλήλοις τὸ ὅραμα.

Ἐπανακάμψας δ' ὁ Πέτρος εἰς τὰ ἴδια, μεταβαίνει εἰς τὸ ἀσκητήριον τοῦ Θεοδοσίου, καταμανθάνει μετὰ θαυμασμοῦ τὰς ἀρετὰς τοῦ ἀνδρός, καὶ προχειρίσας τὸν ἀσκητὴν εἰς τὸ ὑψηλὸν τῆς ἱερωσύνης ἀξίωμα, παραλαμβάνει αὐτὸν συνεργὸν καὶ συμπράκτορα εἰς τὸ ψυχοσωτήριον ἔργον τῆς θείας αὐτοῦ ἀποστολῆς· ὃν καὶ μετ' οὐ πολύ, πρὸς Κύριον ἐκδημήσαντα, κηδεύει ὁ Πέτρος ἱεροπρεπῶς μετὰ παντὸς τοῦ κλήρου τῆς ἑαυτοῦ ἐπισκοπῆς.

Καὶ ταῦτα μέν ἐστι τὰ περὶ Θεοδοσίου, ὧνπερ ἀναγκαῖον ἡγησάμεθα ποιήσασθαι μνείαν ἐνταῦθα. Ὁ δὲ Πέτρος, φθὰς τὸ ἑβδομηκοστὸν ἔτος τῆς αὐτοῦ ἡλικίας καὶ προαισθόμενος τὸ τέλος τῆς μακαρίας αὐτοῦ ζωῆς, δίδωσι πατρικὰς συμβουλὰς καὶ παραινέσεις τῷ λογικῷ αὐτοῦ ποιμνίῳ, καὶ ἱλαρῶς παρατίθησι τὸ πνεῦμα εἰς χεῖρας Θεοῦ, ὃν τοσοῦτον ἠγάπησεν. Οἱ δὲ πιστοί, τὴν στέρησιν τοιούτου ποιμένος καὶ εὐεργέτου θρηνήσαντες, ἦραν μετ' εὐλαβείας τὸ χαριτόβρυτον τοῦ ἱεράρχου λείψανον καὶ κατέθεντο ἐν ναῷ, ἐπ' ὀνόματι αὐτοῦ ἀνεγερθέντι· τὸ δ' ἐγένετο ἀνεξάντλητος πηγὴ ἰαμάτων τοῖς πίστει προσιοῦσιν αὐτῷ. Ἀλλ' ὁ ναὸς ἐκεῖνος, προϊόντος τοῦ χρόνου, κατηρειπώθη. Οἱ δὲ ὄντως εὐσεβεῖς καὶ φιλόχριστοι Ἀργεῖοι οὐ μακρὰν τοῦ παλαιοῦ ἐκείνου, ἐν τῷ κέντρῳ

(1) Τὸν βίον τούτου, σωζόμενον ἐν τῷ Νέῳ Ἐκλογίῳ, συνέγραψεν ὁ γλαφυρὸς κάλαμος τοῦ πολλὰ μελίρρυτα ᾄσματα καὶ κατανυκτικοὺς κανόνας πονήσαντος ἱεροῦ Νικολάου τοῦ Μαλαξοῦ, πρωτοπαπᾶ Ναυπλίου.



ΛΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡ...

τῆς πόλεως, ἀνήγειραν αὐτῷ ἐπ᾽ ἐσχάτων ἕτερον μεγαλοπρεπέστερον καὶ ἐφάμιλλον τῶν περικαλλεστέρων ἐν Ἑλλάδι ναῶν, τρανῶς μαρτυροῦντα τὸ σέβας καὶ τὴν εὐλάβειαν αὐτῶν πρὸς τὸν πάντιμον καὶ πανευκλεᾶ Ἅγιον, τὸν πολιοῦχον μὲν τοῦ Ἄργους, πάσης δὲ τῆς Ἀργολίδος προστάτην.

Πάντως δὲ ὁ κατ᾽ ἀρχαιοτέραν ἐποχὴν συγγραφεὶς βίος τοῦ ἐνδόξου τούτου τῆς Ἐκκλησίας ἱεράρχου καθωραϊσμένος τε ἦν καὶ πεπλουτισμένος περιγραφῇ γεγονότων, ἔτι μᾶλλον ἐκφραζόντων τὰς λαμπρὰς αὐτοῦ ἀρετὰς καὶ τὰς θεοφιλεῖς πράξεις· ἀλλὰ τὸν βίον ἐκεῖνον μετὰ πολλῶν ἄλλων κειμηλίων τῆς ἑλληνικῆς εὐφυΐας καὶ εὐσεβείας ὅ τε πανδαμάτωρ χρόνος καὶ αἱ κατὰ καιροὺς εἰς τὴν πατρίδα ἡμῶν εἰσβολαὶ τῶν ἀλλοφύλων ὁλοσχερῶς ἐξηφάνισαν. Πλὴν ἀλλ᾽ ὅμως καὶ τὰ διασωθέντα εἰς ἡμᾶς βραχέα ταῦτα μνημεῖα ἱκανά εἰσιν ἀναδιδάξαι πάντα πιστὸν, οἵας καὶ ὅσης παρὰ Θεῷ ἠξίωται τιμῆς καὶ δόξης ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Πέτρος, οὗ ταῖς πρεσβείαις ῥυσθείημεν πάσης ἀνάγκης καὶ θλίψεως. Ἀμήν.

### Ὠδὴ ζ΄.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες.

Πέτρον ἅμα ϗ κλεινὸν αὐτοῦ ὁμαίμονα, Κορίνθου πρόεδρον, τὸν θεῖον Παῦλον πιστοὶ, δυάδα τὴν πάμφωτον, ᾄσμασι σήμερον, εὐφημήσωμεν, ἱεραρχῶν ἀκρέμονας, ϗ Ἑλλάδος πρωτοστάτας.



Ἐπιλάμπει σου ἡ μνήμη ὥσπερ ἥλιος, αὐγάζων πέρατα, ϗ πάντας θάλπει πιστοὺς, τοὺς πόθῳ τιμῶντάς σε, Πέτρε θεόπεμπτε, ϗ δοξάζοντας, τὸν σὲ ἡμῖν δωρούμενον ἀκαταίσχυντον ἐλπίδα.

Τὸ τὴν κόρην βασανίζον πνεῦμα ἄλαλον, δυνάμει λόγου σου, μακρὰν διώξας αὐτῆς, εἰς ᾅδου τὰ τάρταρα, φεύγειν ἐπέταξας, ὡς ἀπόςολος, θαυματουργῶν ὀνόματος, τοῦ Χριςοῦ τῇ ἐπικλήσει.

### Θεοτοκίον.

Ὡς παλάτιον ϗ θρόνος ἡλιόμορφος, ταῖς σαῖς ἐβάστασας, ὠλέναις μήτηρ Θεοῦ, τὸν πάντα βαστάζοντα, ϗ πάντων Κύριον, ϗ ἐλύτρωσας ἀνθρώπων γένος Πάναγνε, τῇ ἀῤῥήτῳ σου λοχείᾳ.

### Ὠδὴ η΄.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ῥήματι Θεοῦ ϗ ζώσῃ πίστει, παμμάκαρ τὸ ἐν τῷ πίθῳ μένον ἄλευρον, ἔδειξας ἀκένωτον, τούτῳ δὲ ἐξέθρεψας, τοὺς σιτοδείᾳ πάσχοντας, λαοὺς ῥυσάμενος, λιμοῦ τε ϗ θανάτου θεόφρων, ἀνυμνολογοῦντας Χριςὸν εἰς τοὺς αἰῶνας.

Ὅλῃ τῇ ψυχῇ ϗ διανοίᾳ, τὸν νόμον τὸν τοῦ Κυρίου ἐμελέτησας, Πέτρε ϗ ἐνέγραψας, σῆς καρδίας πίναξι. Διὸ ϗ σοῦ τοῖς χείλεσιν, ἡ θεία χάρις σοφὲ,

…ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ … ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

πλουσίως ἐκχυθεῖσα ἐτέλει, τοὺς ἀκροωμένους πολίτας οὐρανίους.

Ὕλης ᾗ σαρκὸς καταφρονήσας, ὡς ἄσαρκος ἐν ἁγνείᾳ πεπολίτευσαι, ἄγγελος ἐπίγειος, πέλων παμμακάριστε· ᾗ εὐλαβῶς τετήρηκας, τὴν πίστιν ἄμωμον, τὸν ςέφανον λοιπὸν ὁ Δεσπότης, τῆς δικαιοσύνης ἀπέδωκέ σοι Πέτρε.

Θεοτοκίον.

Ὅλως Μητροπάρθενε ἀῤῥήτως, ὁ πάντων δημιουργὸς ἐκ σοῦ σεσάρκωται, σώσας τὸ ἀνθρώπινον, γένος ὡς φιλάνθρωπος, ᾗ κόσμου σὲ ἀνέδειξεν ὄντως βασίλισσαν· διό σε Θεοτόκον εἰδότες, μακαρίζομέν σε Ἁγνὴ εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἅπας γηγενής.

Λύσιν τῶν δεινῶν, παράσχου μοι Ἅγιε ταῖς ἱκεσίαις σου· ἔχεις παῤῥησίαν γὰρ, θρόνῳ ἀστέκτῳ νῦν παριστάμενος, τῷ τοῦ Θεοῦ πανόλβιε, ᾗ ἐλλαμπόμενος, τῷ ἐκεῖθεν, θείῳ ἀπαυγάσματι, ὡς πιςὸς οἰκονόμος τῆς χάριτος.

Ἴσον τὸν Υἱὸν, Πατρί τε ᾗ Πνεύματι, ᾗ ὁμοούσιον, ἐκφαντορικώτατα, κηρύξας Πέτρε, πάντας ἐδίδαξας, θεολογεῖν μυστήριον, τὸ ἀνερμήνευτον, ᾗ λατρεύειν, μίαν τρισυπόστατον, αἰωνίαν ἀρχὴν ᾗ τρισήλιον.



Ἆρας πρὸς Θεὸν, καρδίας τὰ ὄμματα, θεομακάριστε, τοῦτον καθικέτευε, ὑπὲρ τῶν πίστει ἀνευφημούντων σε, ἡ Κωνςαντίνου πόλις γὰρ, ᾗ Ἀργολὶς ἡ κλεινὴ, σὺν Κορίνθῳ, Πέτρε ἑορτάζουσι, μετὰ πάντων τὴν θείαν σου κοίμησιν.

Σὲ τὸν συμπαθῆ, προστάτην ᾗ πρόμαχον, νῦν μακαρίζουσιν, ἐνθεαστικώτατα, Ἀργείων παῖδες ἀναβοῶντές σοι· τὴν πόλιν σου διάσωζε, ᾗ διαφύλαττε, ἀπὸ πάσης, Πέτρε περιστάσεως, ὡς πιστὸς πολιοῦχος ᾗ πρύτανις.

Θεοτοκίον.

Νέφη τῶν παθῶν, Ἁγνὴ ᾗ τῶν θλίψεων, διασκεδάσασα, αἴγλῃ εὐφροσύνης σου, ᾗ θυμηδίας ἡμᾶς κατάλαμψον, ᾗ σὺν τῷ Πέτρῳ πρέσβευε, τῷ σῷ Υἱῷ ᾗ Θεῷ, καταπέμψαι πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν ᾗ ἄφατον ἔλεος.

Ἐξαποστειλάριον.

Τοῖς μαθηταῖς συνέλθωμεν.

Πανευκλεῶς ἐποίμανας, λαὸν τὸν τοῦ Κυρίου, σάλπιγγι θείων λόγων σου, ἄγων πρὸς τοὺς λειμῶνας, τῶν μυριπνόων ἀνθέων, σώζοντος Παραδείσου, ᾗ τοῦτον ἐναπέφηνας, περιούσιον ὄντως·

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΗΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

διὸ ϗ νῦν, Πέτρε καθικέτευε, ὑπὲρ πάντων, τῶν πίστει γεραιρόντων σου, τὴν πανέορτον μνήμην.

Ἕτερον.

Τῶν μαθητῶν ὁρώντων σε ἀνελήφθης.

Τὸν παμφαῆ φωστῆρα τῆς Ἐκκλησίας, Ἑλλάδος τὸν προστάτην ϗ Ἀργολίδος, πρόεδρον πιστοὶ νῦν μακαρίσωμεν, Πέτρον τὸν θεῖον ἅπαντες, ϗ τὴν σεπτὴν αὐτοῦ μνήμην, πανηγυρίσωμεν πόθῳ.

Θεοτοκίον.

Θεὸν ὃν ἐξ ἁγνῶν σου αἱμάτων Κόρη, ἀνερμηνεύτως ἔτεκες γενομένη, θρόνος ϗ παλάτιον τοῦ κτίστου σου· τοῦτον Παρθένε ἵλεων, τοῖς σὲ πιςῶς ἀνυμνοῦσιν, ἀπέργασαι Θεοτόκε.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ′ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος δ′.

Ὁ ἐξ ὑψίστου κληθείς.

Καταυγασθεὶς ταῖς τοῦ Πνεύματος ἀκτῖσιν, ὅλος ἐκ νεότητος, πάτερ ἡγίασαι, φιλοσοφίας ἀκρότητι, θεολογίας, θείοις διδάγμασιν ὁπλισάμενος· ὅθεν ϗ ἀνέλαβες, κεκαθαρμένῳ νοΐ, ποιμεναρχίας τοὺς οἴακας, λαοὺς ἰθύνων, πρὸς ὅρμον θεῖον ϗ ἐπουράνιον, πηδαλιοῦχος ϗ διδάσκαλος, χρηματίζων αὐτοῖς Πέτρε ὅσιε, ϗ Κυρίῳ προσάγων, τῷ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.



Ὁ τῶν μελλόντων προγνώστης προγινώσκων, Πέτρε τὸ ἀκήρατον, τῆς καθαρᾶς σου ψυχῆς, σὲ σκεῦος θεῖον προώρισε, τῶν χαρισμάτων, τοῦ Παναγίου παμμάκαρ Πνεύματος· ὅθεν ϗ ποιμάντορα, προβάτων τῶν λογικῶν, σὲ κατεστήσατο Ἅγιε, ἀρχιερέων, ϗ τῶν ὁσίων τὸ ἐγκαλλώπισμα. Διὸ μὴ παύσῃ παναοίδιμε, προφητῶν ϗ μαρτύρων συνόμιλε, τῷ Κυρίῳ πρεσβεύων, ὑπὲρ τῶν μακαριζόντων σε.

Τῶν ἰαμάτων τὴν χάριν δεδεγμένος, δαίμονας ἐξήλασας, λόγῳ σου Ἅγιε, ϗ τοὺς πεινῶντας ἐξέθρεψας, ϗ τοὺς νοσοῦντας, σπουδῇ ἰάτρευσας παμμακάριςε, θαύματα παράδοξα, ἐπιτελῶν προσευχῇ· πάντα τοῖς πᾶσι γενόμενος, ἵνα τοὺς πάντας, Θεῷ κερδάνῃς, Πέτρε θεόσοφε. Διὸ αἰτοῦμεν συμπαθέστατε, τὸν τῶν ὅλων Θεὸν καθικέτευε, εἰρηνεῦσαι τὸν κόσμον, ϗ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ἱεραρχίας στολῇ λελαμπρυσμένος, ἔστηκας ἀπρόσμαχος προασπιστὴς τῶν πιστῶν, αἱρετι-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ζόντων τὰς φάλαγγας, καταταράσσων, τῇ πανοπλίᾳ θεοσοφίας σου· ὅθεν ϗ ἀλύμαντον, τὴν πιςευθεῖσαν τῇ σῇ, ἐπιστασίᾳ πανάριστε, Κυρίου ποίμνην, πρὸς βασιλείαν τὴν ἐπουράνιον, καθοδηγήσας Πάτερ εἴληφας, ἐπαξίως μισθὸν τῶν καμάτων σου, ὡς σοφὸς ποδηγέτης, διὸ σῶζε τοὺς τιμῶντάς σε.

Δόξα, Ἦχος πλ. α΄.

Ἐπέλαμψε σήμερον ἡ μνήμη τοῦ σοφοῦ ἱεράρχου, ϗ πνευματικὴν πανδαισίαν, πᾶσι τοῖς πιστοῖς προτίθησι. Δεῦτε οὖν φιλέορτοι φαιδρῶς πανηγυρίσωμεν, δεῦτε εὐφημήσωμεν τὸν ποιμένα ϗ διδάσκαλον τῆς Ἀργολίδος, ϗ ἐν χαρᾷ ἀναβοήσωμεν αὐτῷ· Χαίροις Πέτρε ἱερώτατε, ϗ πιστὲ οἰκονόμε τῶν μυστηρίων Θεοῦ· χαίροις ὁ τὸ δοθέν σοι τάλαντον πολυπλασιάσας· χαίροις προφητῶν ϗ Ἀποςόλων συγκληρονόμε· χαίροις λαμπαδοῦχε ϗ ποιμὴν ϗ ποδηγέτα τῶν πιστῶν· χαίροις ἀντιλῆπτορ τῶν δεομένων, ϗ ἰατρὲ τῶν νοσούντων. Σὺ γὰρ μετὰ τοῦ Παύλου ἀνέκραζες· τίς ἀσθενεῖ, ϗ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, ϗ οὐκ ἐγὼ πυροῦμαι; Διὸ ϗ νῦν ἀδιαλείπτως πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, τῆς ἑορτῆς.



Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ ϗ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου Ὠδὴ γ΄ ϗ ς΄.

Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει εἰς τὰς ιγ΄ Νοεμβρίου.

## Μεγαλυνάριον,

Ψαλλόμενον μετὰ τό, Ἐν πρώτοις μνήσθητι Κύριε, κατὰ πᾶσαν μὲν κυριακήν, ἔνθα ὑπάρχει ναὸς τοῦ Ἁγίου· κατὰ τὴν ἡμέραν δὲ τῆς μνήμης αὐτοῦ, ἐν ταῖς λοιπαῖς ἐκκλησίαις.

Τὸν τοῦ Βυζαντίου κλεινὸν βλαστόν, ϗ τῆς Ἀργολίδος ποιμενάρχην τε ϗ φρουρόν, τῶν θείων δογμάτων, τὸν ἔνθερμον προστάτην, Πέτρον τὸν θεοφόρον, πάντες τιμήσωμεν.

ΤΕΛΟΣ ΚΑΙ ΤΩι ΘΕΩι ΔΟΞΑ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ